Burton & Goodspeed # 79: Walking on the Sea

| Matthew 14:23b-36 | Mark 6:47-56 |
| --- | --- |
| **Matthew 14:23** | **Mark 6:47** |
| ὀψίας δὲ γενομένης | καὶ ὀψίας γενομένης |
| μόνος ἦν ἐκεῖ. | |
| **24** τὸ δὲ πλοῖον ἤδη | ἦν τὸ πλοῖον |
| σταδίους πολλοὺς ἀπὸ τῆς γῆς | ἐν μέσῳ τῆς θαλάσσης, |
| ἀπεῖχεν | |
| | καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς. |
| | **48** καὶ ἰδὼν αὐτοὺς |
| βασανιζόμενον | βασανιζομένους |
| ὑπὸ τῶν κυμάτων, | ἐν τῷ ἐλαύνειν, |
| ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. | ἦν γὰρ ὁ ἄνεμος ἐναντίος |
| | αὐτοῖς, |
| **25** τετάρτῃ δὲ φυλακῇ τῆς | περὶ τετάρτην φυλακὴν τῆς |
| νυκτὸς | νυκτὸς |
| ἦλθεν πρὸς αὐτοὺς | ἔρχεται πρὸς αὐτοὺς |
| περιπατῶν ἐπὶ τὴν θάλασσαν. | περιπατῶν ἐπὶ τῆς θαλάσσης |
| | καὶ ἤθελεν παρελθεῖν αὐτούς. |
| **26** οἱ δὲ μαθηταὶ ἰδόντες αὐτὸν | **49** οἱ δὲ ἰδόντες αὐτὸν |
| ἐπὶ τῆς θαλάσσης | ἐπὶ τῆς θαλάσσης |
| περιπατοῦντα | περιπατοῦντα |
| ἐταράχθησαν λέγοντες ὅτι | ἔδοξαν ὅτι |

| | |
|---|---|
| Φάντασμά ἐστιν, | φάντασμά ἐστιν, |
| καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. | καὶ ἀνέκραξαν· |
| | **50** πάντες γὰρ αὐτὸν εἶδον |
| | καὶ ἐταράχθησαν. |
| **27** εὐθὺς δὲ ἐλάλησεν [ὁ | ὁ δὲ εὐθὺς ἐλάλησεν |
| Ἰησοῦς] | |
| αὐτοῖς λέγων, | μετ’ αὐτῶν, καὶ λέγει αὐτοῖς, |
| Θαρσεῖτε, ἐγώ εἰμι· μὴ | Θαρσεῖτε, ἐγώ εἰμι· μὴ |
| φοβεῖσθε. | φοβεῖσθε. |
| **28** ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπεν, Κύριε, εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρὸς σὲ ἐπὶ τὰ ὕδατα. | |
| **29** ὁ δὲ εἶπεν, Ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου [ὁ] Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα καὶ ἦλθεν πρὸς τὸν Ἰησοῦν. | |
| **30** βλέπων δὲ τὸν ἄνεμον [ἰσχυρὸν] ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξεν λέγων, Κύριε, σῶσόν με. | |
| **31** εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ, Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; | |
| **32** καὶ ἀναβάντων αὐτῶν | **51** καὶ ἀνέβη πρὸς αὐτοὺς |
| εἰς τὸ πλοῖον | εἰς τὸ πλοῖον |

| | |
|---|---|
| ἐκόπασεν ὁ ἄνεμος. | καὶ ἐκόπασεν ὁ ἄνεμος, |
| **33** οἱ δὲ ἐν τῷ πλοίῳ | καὶ |
| προσεκύνησαν αὐτῷ λέγοντες, | λίαν [ἐκ περισσοῦ] ἐν ἑαυτοῖς ἐξίσταντο· |
| Ἀληθῶς θεοῦ υἱὸς εἶ. | |
| | **52** οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς |
| | ἄρτοις, ἀλλ’ ἦν αὐτῶν ἡ |
| | καρδία πεπωρωμένη. |
| **34** Καὶ διαπεράσαντες | **53** Καὶ διαπεράσαντες |
| ἦλθον ἐπὶ τὴν γῆν | ἐπὶ τὴν γῆν ἦλθον |
| εἰς Γεννησαρέτ. | εἰς Γεννησαρὲτ |
| | καὶ προσωρμίσθησαν. |
| | **54** καὶ ἐξελθόντων αὐτῶν ἐκ |
| | τοῦ πλοίου |
| **35** καὶ ἐπιγνόντες αὐτὸν | εὐθὺς ἐπιγνόντες αὐτὸν |
| οἱ ἄνδρες τοῦ τόπου ἐκείνου | |
| ἀπέστειλαν εἰς ὅλην τὴν | **55** περιέδραμον ὅλην τὴν |
| περίχωρον ἐκείνην | χώραν ἐκείνην |
| καὶ προσήνεγκαν αὐτῷ | καὶ ἤρξαντο ἐπὶ τοῖς |
| | κραβάττοις |
| πάντας τοὺς κακῶς ἔχοντας | τοὺς κακῶς ἔχοντας |
| | περιφέρειν |
| | ὅπου ἤκουον ὅτι ἐστίν. |
| | **56** καὶ ὅπου ἂν εἰσεπορεύετο |
| | εἰς κώμας ἢ εἰς πόλεις ἢ εἰς |

| | |
|---|---|
| | ἀγρούς, ἐν ταῖς ἀγοραῖς |
| | ἐτίθεσαν τοὺς ἀσθενοῦντας |
| **36** καὶ παρεκάλουν αὐτὸν | καὶ παρεκάλουν αὐτὸν |
| ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου | ἵνα κἂν τοῦ κρασπέδου |
| τοῦ ἱματίου αὐτοῦ· | τοῦ ἱματίου αὐτοῦ ἅψωνται· |
| καὶ ὅσοι ἥψαντο διεσώθησαν. | καὶ ὅσοι ἂν ἥψαντο αὐτοῦ |
| | ἐσῴζοντο. |

Matthew: 218 – 17 = 201 Mark: 194 – 13 = 181 Identical: 142/382 = 37.17%